(1) ἐφ' ὑμᾶς ὁ ἐχθρὸς - *Ms. Alex.* ὁ ἐχθρὸς ἐφ' ὑμᾶς. *Et ita Hebr. et Vulg.* (a) ἀντὶ τοῦ ἀτιμασθῆναι - *H.* יען ביען שמות. (3) ὑμᾶς, καὶ μισηθῆναι ὑμᾶς ὑπὸ τῶν. (4) ἔθνεσι. (5) λόγον κυρίου - *H.* דבר־ארני יהוה - *Vulg.* verbum Domini Dei. (6) κύριος τοῖς - *Ald.* κύριος κύριος - *H.* ארני יהוה - *Vulg.* Dominus Deus. (7) ὄρεσι, καί.

σι ταῖς [8] ἐγκαλελειμμέναις, αἳ ἐγένοντο εἰς προνομὴν καὶ εἰς καταπάτημα τοῖς καταλειφθεῖσιν [9] ἔθνεσι, ἔθνεσι περικύκλῳ.

quae factae sunt in direptionem et in conculcationem reliquis gentibus, gentibus per circuitum.

5. Διὰ τοῦτο τάδε λέγει Κύριος Κύριος· εἰ μὴν ἐν πυρὶ θυμοῦ μου ἐλάλησα ἐπὶ τὰ λοιπὰ ἔθνη, καὶ ἐπὶ τὴν Ἰδουμαίαν πᾶσαν, ὅτι ἔδωκαν τὴν γῆν μου ἑαυτοῖς εἰς κατάσχεσιν μετ' εὐφροσύνης, ἀτιμάσαντες ψυχὰς, τοῦ ἀφανίσαι ἐν προνομῇ.

5. Propterea haec dicit Dominus Dominus: quia in igne furoris mei loquutus sum super reliquas gentes, et super Idumaeam universam, quia dederunt terram meam sibi in possessionem cum laetitia, despicientes animas, ut delerent in vastatione.

6. Διὰ τοῦτο προφήτευσον ἐπὶ τὴν γῆν τοῦ Ἰσραὴλ, καὶ εἰπὸν τοῖς ὄρεσι, καὶ τοῖς βουνοῖς, [10] καὶ ταῖς νάπαις, καὶ ταῖς φάραγξι· τάδε λέγει [11] Κύριος Κύριος· ἰδοὺ ἐγὼ ἐν τῷ ζήλῳ μου, καὶ ἐν τῷ θυμῷ μου ἐλάλησα, ἀντὶ τοῦ ὀνειδισμοὺς ἐθνῶν ἐνέγκαι ὑμᾶς.

6. Idcirco vaticinare super terram Israël; et dic montibus, et collibus, et locis nemorosis, et vallibus: haec dicit Dominus Dominus: ecce ego in zelo meo, et in furore meo loquutus sum, eo quod opprobria gentium portaveritis.

7. [12] Διὰ τοῦτο ⋇ τάδε λέγει ⋇ Ἀδωναῒ Κύριος· ἐγὼ ἀρῶ τὴν χεῖρά μου ἐπὶ τὰ ἔθνη τὰ περικύκλῳ ὑμῶν, οὗτοι τὴν ἀτιμίαν αὐτῶν λήψονται.

7. Idcirco ⋇ haec dicit ⋇ Adonaï Dominus: ego levabo manum meam super gentes, quae in circuitu vestro: ipsi ignominiam suam portabunt.

8. Ὑμῶν δὲ ὄρη Ἰσραὴλ τὴν [13] σταφυλὴν ⋇ δώσετε, ⁄ καὶ τὸν καρπὸν ὑμῶν καταφάγεται ὁ λαός [14] μου ⋇ Ἰσραὴλ, ⁄ ὅτι ἐλπίζουσι τοῦ ἐλθεῖν.

8. Vestram autem, montes Israël, uvam ⋇ dabitis, ⁄ et fructum vestrum comedet populus meus ⋇ Israël, ⁄ quia sperant venire.

9. Ὅτι ἰδοὺ ἐγὼ ἐφ' ὑμᾶς, καὶ ἐπιβλέψω ἐφ' ὑμᾶς, καὶ κατεργασθήσεσθε, καὶ σπαρήσεσθε·

9. Quoniam ecce ego ad vos, et respiciam ad vos, et colemini, et accipietis sementem:

---

5. כל־לבב - Ἄλλ. ἐξ ὅλης καρδίας H. M.

5. H. omnis cordis - *Alius* ex toto corde - *Vulg.* toto corde.

---

(8) ἐγκαταλελειμμέναις, καὶ ἐγένοντο - *Alex.* καταλελειμμέναις αἱ ἐγένοντο - *H.* הנעזבות אשר - *Vulg.* derelictis, quae. (9) ἔθνεσι περικύκλῳ - *Alex.* ἔθνεσι τοῖς περικύκλῳ - *H.* הגוים אשר מסביב (10) καὶ ταῖς φάραγξι καὶ ταῖς νάπαις. (11) κύριος, Ἰδοὺ - *Alex.* ἀδωναῒ κύριος - *H.* אדני יהוה - *Vulg.* Dominus Deus. (12) Διατοῦτο ἐγὼ ἀρῶ - *C.* τάδε λέγει κύριος κύριος, Ἐγὼ ἀρῶ - *H.* לכן כה אמר אדני יהוה אני - *Vulg.* Idcirco haec dicit Dominus Deus: Ego. *Et ita Hieron.* (13) σταφυλὴν καὶ τὸν καρπόν - *H.* תתנו - *Vulg.* germinetis (14) μου, ἔτι - *H.* ישראל - *Vulg.* Israël.

10. καὶ πληθυνῶ ἐφ' ὑμᾶς ἀνθρώπους, [15] πάντα οἶκον Ἰσραὴλ εἰς τέλος, καὶ κατοικηθήσονται αἱ πόλεις, καὶ ἡ ἠρημωμένη οἰκοδομηθήσεται.

11. Καὶ πληθυνῶ ἐφ' ὑμᾶς ἀνθρώπους, καὶ [16] κτήνη, ⋇ καὶ αὐξηθήσονται, ⋇ καὶ πληθυνθήσονται, / καὶ κατοικιῶ ὑμᾶς ὡς τὸ ἐν ἀρχῇ ὑμῶν, καὶ εὖ ποιήσω ὑμᾶς, ὥσπερ τὰ ἔμπροσθεν ὑμῶν, καὶ γνώσεσθε ὅτι ἐγώ εἰμι Κύριος.

12. Καὶ γενήσω [*leg.* γεννήσω] ἐφ' ὑμᾶς ἀνθρώπους τὸν λαόν μου Ἰσραὴλ, καὶ κληρονομήσουσιν ὑμᾶς, καὶ ἔσεσθε αὐτοῖς εἰς κατάσχεσιν· καὶ οὐ μὴ προστεθῆτε ἔτι ἀτεκνωθῆναι ἀπ' αὐτῶν.

13. Τάδε λέγει Κύριος Κύριος· ἀνθ' ὧν εἰπάν σοι, κατέσθουσα ἀνθρώπους [17] εἶ σὺ, καὶ ἠτεκνωμένη ὑπὸ τοῦ ἔθνους σου ἐγένου·

14. διὰ τοῦτο ἀνθρώπους οὐκ ἔτι φάγεσαι, καὶ τὸ ἔθνος σου οὐκ ἀτεκνώσεις ἔτι, λέγει Κύριος Κύριος.

15. Καὶ οὐκ ἀκουσθήσεται [18] ἐφ' ὑμᾶς οὐκ ἔτι ἀτιμία ἐθνῶν, καὶ ὀνειδισμοὺς λαῶν οὐ μὴ [19] ἀνενέγκητε, ⋇ καὶ τὸ ἔθνος σου ⋇ οὐκ ἀτεκνωθήσεται ἔτι, / λέγει Κύριος Κύριος.

10. et multiplicabo in vobis homines, omnem domum Israël in finem: et habitabuntur civitates; et deserta aedificabitur.

11. Et multiplicabo in vobis homines, et jumenta, ⋇ et crescent, ⋇ et multiplicabuntur; / et habitare faciam vos, sicut in principio vestro, et bene faciam vobis, sicut anteriora vestra: et scietis quia ego sum Dominus.

12. Et generabo super vos homines populum meum Israël: et haereditate possidebunt vos: et eritis eis in possessionem: et non addetis ultra ut absque liberis vos faciant.

13. Haec dicit Dominus Dominus: pro eo quod dixerunt tibi, devoratrix hominum es tu, et absque liberis de gente tua facta es:

14. propterea homines non comedes amplius, et gentem tuam liberis non orbabis ultra, ait Dominus Dominus.

15. Et non audietur super vos ultra ignominia gentium, et opprobria populorum nequaquam portabitis, ⋇ et gens tua ⋇ absque liberis ultra non erit, / ait Dominus Dominus.

---

11. - ⋇ Α., Θ. καὶ αὐξηθήσονται καὶ πληθυνθήσονται *H. M.* ורבו ופרו

15. - Ἄλλος, καὶ τὸ ἔθνος σου οὐκ ἀτεκνωθήσεται ἔτι - *In O. vacat. H. M.* וגויך לא תכשלי־עוד

11. *H.*, *Vulg.* et multiplicabuntur et crescent - ⋇ *A.*, *Th.* et augebuntur, et multiplicabuntur.

15. *H.* et gentem tuam non impingere facies adhuc - *Alius* et gens tua absque liberis ultra non erit - *In LXX. vacat* - *Vulg.* et gentem tuam non amittes amplius.

---

(15) πᾶν οἶκον - *Vulg.* omnemque domum. (16) κτήνη, καὶ κατοικιῶ - [*Ms. Jes.* ⋇ Α., Θ. καὶ αὐξηθήσονται καὶ πληθυνθήσονται. *Et sic apud Theodoretum H. M.*] - *C.* κτήνη, καὶ πληθυνθήσονται, καὶ αὐξηθήσονται, καὶ κατοικιῶ - *H.* בהמה ורבו ופרו והושבתי - *Vulg.* jumentis: et multiplicabuntur, et crescent: habitare vos faciam. *Et ita Hieron.* (17) εἶ, καί. (18) οὐκέτι ἐφ' ὑμᾶς. (19) ἀνέγκητε ἔτι, λέγει - *in plur. ll. et apud Theodor. haec haben.* καὶ τὸ ἔθνος σου οὐκ ἀτεκνωθήσεται ἔτι - *H.* תויך לא־תכשלי־עוד נאם - *Vulg.* et gentem tuam non amittes amplius: ait. *Hieron.* (sive gens tua absque liberis ultra non erit), dicit.

Digitized by Google

16. Καὶ ἐγένετο λόγος Κυρίου πρός με, λέγων·

17. υἱὲ ἀνθρώπου, οἶκος Ἰσραὴλ κατῴκησεν ἐπὶ τῆς γῆς αὐτῶν, καὶ ἐμίαναν αὐτὴν ἐν τῇ ὁδῷ αὐτῶν, ÷ καὶ ἐν τοῖς εἰδώλοις αὐτῶν, (20) καὶ ταῖς ἀκαθαρσίαις (21) αὐτῶν, ⁄ κατὰ τὴν ἀκαθαρσίαν τῆς ἀποκαθημένης ἐγενήθη ἡ ὁδὸς αὐτῶν πρὸ προσώπου μου·

18. καὶ ἐξέχεα τὸν θυμόν μου (22) ἐπ' αὐτοὺς ⋇ περὶ τοῦ αἵματος, οὗ ἐξέχεαν ἐπὶ τὴν γῆν, καὶ ἐν τοῖς εἰδώλοις αὐτῶν ἐμίαναν αὐτήν· ⁄

19. καὶ διέσπειρα αὐτοὺς εἰς τὰ ἔθνη, καὶ ἐλίκμησα αὐτοὺς εἰς τὰς χώρας· κατὰ τὴν ὁδὸν αὐτῶν, καὶ κατὰ τὴν ἁμαρτίαν αὐτῶν ἔκρινα αὐτούς.

20. Καὶ εἰσῆλθον εἰς τὰ ἔθνη, οὗ εἰσῆλθον ἐκεῖ, καὶ ἐβεβήλωσαν τὸ ὄνομα (23) τὸ ἅγιόν μου ἐν τῷ λέγεσθαι αὐτούς, λαὸς Κυρίου οὗτοι, καὶ ἐκ τῆς γῆς αὐτοῦ ἐξεληλύθασι.

21. Καὶ ἐφεισάμην αὐτῶν διὰ τὸ ὄνομα (24) τὸ ἅγιόν μου, ὃ ἐβεβήλωσαν

16. Et factum est verbum Domini ad me, dicens:

17. fili hominis, domus Israël habitavit in terra sua, et polluerunt eam in via sua, ÷ et in idolis suis, et immunditiis suis, ⁄ juxta immunditiam menstruatae facta est via eorum coram me:

18. et effudi furorem meum super eos ⋇ de sanguine, quem effuderunt super terram, et in idolis suis polluerunt eam: ⁄

19. et disseminavi eos in gentes, et ventilavi eos in regiones: juxta viam eorum, et juxta peccatum eorum judicavi eos.

20. Et ingressi sunt ad gentes, quo ingressi sunt illuc, et polluerunt nomen sanctum meum, cum dicerentur ipsi, populus Domini isti, et de terra ejus egressi sunt.

21. Et peperci eis propter nomen sanctum meum, quod pol-

18. על־הדם אשר־שפכו על־הארץ ובגלוליהם טמאוה - ⋇ A., Θ. *περὶ τοῦ αἵματος οὗ ἐξέχεαν ἐπὶ τὴν γῆν, καὶ ἐν τοῖς εἰδώλοις αὐτῶν ἐμίαναν αὐτήν* - *In O. vacat. H. M.*

19. ובגלוליהם - *Ἄλλ. καὶ κατὰ τὰ ἐπιτηδεύματα αὐτῶν H. M.*

18. *H.* super sanguinem quem fuderunt super terram, et in idolis suis polluerunt eam - ⋇ *A.*, *Th.* de sanguine quem effuderunt super terram, et in idolis suis polluerunt eam - *In LXX. vacat* - *Vulg.* pro sanguine, quem fuderunt super terram, et in idolis suis polluerunt eam.

19. *H.*, *Alius* et juxta studia eorum - *Vulg.* juxta vitas eorum.

(20) *καὶ ἐν ταῖς.* (21) *αὐτῶν, καὶ κατά - in Alex. καὶ deest, ut etiam in Hebr. et Vulg.* (22) *ἐπ' αὐτούς· καὶ διέσπειρα* - [*Ms. Jes.* ⋇ A., Θ. *περὶ τοῦ αἵματος οὗ ἐξέχεαν ἐπὶ τὴν γῆν, καὶ ἐν τοῖς εἰδώλοις αὐτῶν ἐμίαναν αὐτήν H. M.*] - *Alex., Ald. περὶ τοῦ αἵματος οὗ ἐξέχεαν* (*Ald. ἐξέχεον*) *ἐν τῇ γῇ* (*Ald. ἐπὶ τῆς γῆς*) *καὶ ἐν τοῖς εἰδώλοις αὐτῶν ἐμίαναν αὐτήν. Καὶ διέσπειρα - C. ἀντὶ τοῦ αἵματος, οὗ ἐξέχεον ἐπὶ τῆς γῆς, καὶ ἐν τοῖς βδελύγμασιν αὐτῶν ἐμόλυναν αὐτήν. Καὶ - in al. est ἀνθ' ὧν ἐξέχεαν αἷμα ἐπὶ τῆς γῆς, καὶ ἐν τοῖς εἰδώλοις etc.* - *H.* עליהם על־הדם אשר שפכו על־הארץ ובגלוליהם טמאוה ואפיץ - *Vulg.* super eos pro sanguine, quem fuderunt super terram, et in idolis suis polluerunt eam. Et dispersi. *Et ita Hieron.* (23) *μου τὸ ἅγιον ἐν* - *H.* קדשי - *Vulg.* Sanctum meum. (24) *μου τὸ ἅγιον, ὃ* - *H.* קדשי - *Vulg.* Sancto meo.

οἶκος Ἰσραὴλ ἐν τοῖς ἔθνεσιν, οὗ εἰσῆλθον ἐκεῖ.

luerant domus Israël in gentibus, quo ingressi sunt illuc.

22. Διὰ τοῦτο εἰπὸν τῷ οἴκῳ Ἰσραήλ· τάδε λέγει [25] Κύριος Κύριος· οὐχ ὑμῖν ἐγὼ ποιῶ οἶκος Ἰσραήλ, [26] ἀλλὰ διὰ τὸ ὄνομα [27] τὸ ἅγιόν μου, ὃ ἐβεβηλώσατε ἐν τοῖς ἔθνεσιν, οὗ εἰσήλθετε ἐκεῖ.

22. Idcirco dic domui Israël: haec dicit Dominus Dominus: non vobis ego facio domus Israël; sed propter nomen sanctum meum, quod polluistis in gentibus, quo ingressi estis illuc.

23. Καὶ ἁγιάσω τὸ ὄνομά μου τὸ μέγα, τὸ βεβηλωθὲν ἐν τοῖς ἔθνεσιν, ὃ ἐβεβηλώσατε ἐν μέσῳ αὐτῶν, καὶ γνώσονται τὰ ἔθνη ὅτι ἐγώ εἰμι [28] Κύριος, λέγει Ἀδωναΐ Κύριος, ⁄. ἐν τῷ ἁγιασθῆναί με ἐν ὑμῖν κατ᾽ ὀφθαλμοὺς αὐτῶν,

23. Et sanctificabo nomen meum magnum, quod pollutum est in gentibus, quod polluistis in medio earum; et scient gentes quia ego sum Dominus, ait Adonaï Dominus, ⁄. cum sanctificatus fuero in vobis ante oculos eorum:

24. καὶ λήψομαι ὑμᾶς ἐκ τῶν ἐθνῶν, καὶ ἀθροίσω ὑμᾶς ἐκ πασῶν τῶν γαιῶν, καὶ εἰσάξω ὑμᾶς εἰς τὴν γῆν ὑμῶν,

24. et tollam vos de gentibus, et congregabo vos de universis terris, et introducam vos in terram vestram:

25. καὶ ῥανῶ ἐφ᾽ ὑμᾶς [29] ὕδωρ καθαρὸν, καὶ καθαρισθήσεσθε ἀπὸ πασῶν τῶν ἀκαθαρσιῶν ὑμῶν, καὶ ἀπὸ πάντων τῶν εἰδώλων [30] ὑμῶν καθαριῶ ὑμᾶς,

25. et aspergam super vos aquam mundam, et mundabimini ab omnibus immunditiis vestris, et ab omnibus idolis vestris mundabo vos:

26. καὶ δώσω ὑμῖν καρδίαν καινὴν, καὶ πνεῦμα καινὸν δώσω ἐν ὑμῖν, καὶ ἀφελῶ τὴν καρδίαν τὴν λιθίνην ἐκ τῆς σαρκὸς ὑμῶν, καὶ δώσω ὑμῖν καρδίαν σαρκίνην,

26. et dabo vobis cor novum, et spiritum novum dabo in vobis; et auferam cor lapideum de carne vestra, et dabo vobis cor carneum:

27. καὶ τὸ πνεῦμά μου δώσω ἐν ὑμῖν, καὶ ποιήσω, ἵνα ἐν τοῖς δικαιώμασί μου [31] πορεύσησθε, καὶ τὰ κρίματά μου φυλάξησθε, [32] καὶ ποιήσητε ※ αὐτά ⁄.

27. et spiritum meum dabo in vobis, et faciam ut in justificationibus meis ambuletis, et judicia mea custodiatis, et faciatis ※ ea ⁄.

---

(25) *κύριος οὐχ* – *Alex.* *ἀδωναΐ κύριος* – *Ald., C.* *κύριος κύριος* – *H.* אדני יהוה – *Vulg.* Dominus Deus. (26) *ἀλλ᾽ ἢ διά* – *Ald., C.* *ἀλλὰ διά.* (27) *μου τὸ ἅγιον* – *H.* קדשי – *Vulg.* Sanctum meum. (28) *κύριος, ἐν τῷ* – *Alex., Ald., C.* *λέγει ἀδωναΐ* (*C.* *κύριος*) *κύριος, ἐν τῷ* – *H.* נאם אדני יהוה – *Vulg.* Dominus, ait Dominus exercituum. (29) *καθαρὸν ὕδωρ* – *Alex.* *ὕδωρ καθαρόν.* *Et ita Hebr. et Vulg.* (30) *ὑμῶν, καὶ καθαριῶ* – *in C.* *καὶ deest, ut etiam in Hebr. et Vulg.* (31) *πορεύησθε.* (32) *καὶ ποιήσητε.* *Καὶ* – *C.* *καὶ ποιήσητε αὐτά.*

Digitized by Google

28. καὶ (33) κατοικήσητε ἐπὶ τῆς γῆς, ἧς ἔδωκα τοῖς πατράσιν ὑμῶν, καὶ ἔσεσθέ μοι εἰς λαὸν, καὶ ἐγὼ ἔσομαι ὑμῖν εἰς Θεόν.

28. et habitabitis in terra, quam dedi patribus vestris: et eritis mihi in populum, et ego ero vobis in Deum.

29. Καὶ σώσω ὑμᾶς ἐκ πασῶν τῶν ἀκαθαρσιῶν ὑμῶν· καὶ καλέσω τὸν σῖτον,

29. Et salvos vos faciam ex universis immunditiis vestris: et vocabo frumentum,

30. καὶ πληθυνῶ αὐτὸν, καὶ οὐ δώσω ἐφ' ὑμᾶς λιμόν· καὶ πληθυνῶ τὸν καρπὸν τοῦ ξύλου, καὶ τὰ (34) γενήματα τοῦ ἀγροῦ, ὅπως ἂν μὴ (35) λάβητε ※ ἔτι / ὀνειδισμὸν λιμοῦ ἐν τοῖς ἔθνεσι.

30. et multiplicabo illud; et non dabo super vos famem: et multiplicabo fructum ligni, et genimina agri, ut non portetis ※ ultra / opprobrium famis in gentibus.

31. Καὶ μνησθήσεσθε τὰς ὁδοὺς ὑμῶν τὰς πονηρὰς, καὶ τὰ ἐπιτηδεύματα ὑμῶν τὰ μὴ ἀγαθὰ, καὶ προσοχθιεῖτε κατὰ πρόσωπον αὐτῶν ἐν ταῖς ἀνομίαις ὑμῶν, καὶ ἐπὶ τοῖς βδελύγμασιν αὐτῶν [*leg.* ὑμῶν].

31. Et recordabimini viarum vestrarum pessimarum, et studiorum vestrorum non bonorum: et displicebitis ante faciem ipsorum in iniquitatibus vestris, et super abominationibus vestris.

32. Οὐ δι' ὑμᾶς ἐγὼ ποιῶ, λέγει Κύριος Κύριος, γνωστὸν ἔσται [*leg.* ἔστιν] ὑμῖν· αἰσχύνθητε καὶ ἐντράπητε ἐκ τῶν ὁδῶν ὑμῶν, οἶκος Ἰσραήλ.

32. Non propter vos ego facio, dicit Dominus Dominus, notum est vobis: confundimini, et erubescite de viis vestris, domus Israël.

33. Τάδε λέγει (36) Κύριος Κύριος· ἐν ἡμέρᾳ ᾗ (37) καθαρίσω ὑμᾶς ἐκ (38) πασῶν τῶν ἀνομιῶν ὑμῶν, καὶ κατοικιῶ τὰς πόλεις, καὶ (39) οἰκοδομηθήσονται αἱ ἔρημοι,

33. Haec dicit Dominus Dominus: in die, qua mundabo vos ex omnibus iniquitatibus vestris; et habitari faciam urbes, et aedificabuntur solitudines,

34. καὶ ἡ γῆ ἠφανισμένη ἐργασθήσεται, ἀνθ' ὧν ὅτι ἠφανισμένη ἐγενήθη κατ' ὀφθαλμοὺς παντὸς παροδεύοντος·

34. et terra deserta excoletur, pro eo quod desolata erat ante oculos omnis viatoris:

35. καὶ ἐροῦσιν· ἡ γῆ (40) ἐκείνη ἡ ἠφανισμένη ἐγενήθη ὡς κῆπος τρυφῆς,

35. et dicent: terra illa deserta facta est ut hortus deliciarum;

---

(33) κατοικήσετε. (34) γεννήματα - *Alex.* γενήματα. (35) λάβητε ὀνειδισμόν - *Alex. et C.* ἔτι ὀνειδισμὸν (*C.* ὀνειδισμόν) - *H.* עוד חרפת - *Vulg.* ultra opprobrium. (36) ἀδωναῒ κύριος. (37) καθαριῶ. (38) πασῶν ἀνομιῶν - *Alex.* τῶν ἀνομιῶν. (39) οἰκοδομηθήσονται ἔρημοι - *Alex.* αἱ ἔρημοι - החרבות (40) ἐκείνη ἠφανισμένη - *Alex.* ἡ ἠφανισμένη - *H.* הנשמה

καὶ αἱ πόλεις αἱ ἔρημοι καὶ (41) ἠφανισμένη [leg. ἠφανισμέναι] κατεσκαμμέναι, ὀχυραὶ ἐκάθισαν.

36. Καὶ γνώσονται τὰ ἔθνη, ὅσα ἂν καταλειφθῶσι κύκλῳ ὑμῶν, ὅτι ἐγὼ Κύριος ᾠκοδόμησα τὰς καθῃρημένας, καὶ κατεφύτευσα τὰς ἠφανισμένας· ἐγὼ Κύριος ἐλάλησα, καὶ (42) ἐποίησα.

37. Τάδε λέγει (43) Κύριος Κύριος. ἔτι τοῦτο ζητηθήσομαι τῷ οἴκῳ Ἰσραὴλ τοῦ ποιῆσαι (44) αὐτοῖς· πληθυνῶ αὐτοὺς ὡς πρόβατα ἀνθρώπους,

38. ὡς πρόβατα ἅγια, ὡς (45) πρόβατα τῆς Ἰερουσαλὴμ ἐν ταῖς ἑορταῖς αὐτῆς· οὕτως ἔσονται αἱ πόλεις αἱ ἔρημοι πλήρεις προβάτων ἀνθρώπων, καὶ γνώσονται ὅτι ἐγὼ Κύριος.

et civitates desertae et dissipatae suffossae, munitae sederunt.

36. Et scient gentes, quae derelictae fuerint in circuitu vestro, quia ego Dominus aedificavi destructas, et plantavi deletas: ego Dominus loquutus sum, et feci.

37. Haec dicit Dominus Dominus: adhuc in hoc quaerar domui Israël, ut faciam eis: multiplicabo eos, sicut oves, homines,

38. ut oves sanctas, ut oves Jerusalem in solemnitatibus ejus: sic erunt civitates desertae plenae ovium hominum; et scient quia ego Dominus.

---

(41) ἠφανισμέναι καὶ κατεσκαμμέναι. (42) ποιήσω. (43) ἀδωναῒ κύριος - *Alex.*, *Ald.*, *C.* κύριος κύριος. (44) αὐτούς - *H.* להם - *Vulg.* eis. (45) πρόβατα Ἱερουσαλήμ.

NOTÆ, ET VARIÆ LECTIONES

2. Ἄλλ. τὰ ὑψηλά *Montfauc. ex Drusio, qui haec notat: Hieron.* altitudines, *sive* solitudines. *Idem alibi:* Bama *singulariter* excelsum, *et* Bamoth excelsa *significat. Eusebius de locis:* Bama *Aquila semper* ὑψηλὸν *reddit.*

5. Ἄλλ. ἐξ ὅλης καρδίας *Montfauc. ex Drusio. In* LXX *deest.*

11. ※ Α., Θ. καὶ αὐξηθήσονται etc. *Idem ex Ms. Jes.; Similiter in textu Chis. praeter* Α., Θ. *qui desunt.*

15. Ἄλλ. καὶ τὸ ἔθνος σου οὐκ ἀτεκνωθήσεται ἔτι *Montfauc. ex Drusio. Ita quoque in textu Chis. nisi quod ponit asteriscum ante* οὐκ, *et lineam cuspidatam terminalem post* ἔτι.

18. ※ Α., Θ. περὶ τοῦ αἵματος etc. *Ms. Jes. apud Montfauc. In textu Chis. verbum e verbo extat, sed tantum sub asteriscis.*

19. Ἄλλ. καὶ κατὰ τὰ ἐπιτηδεύματα αὐτῶν *Montfauc. ex Drusio. Chis. vero exhibet,* καὶ κατὰ τὴν ἁμαρτίαν αὐτῶν, *absque ulla praefixa nota.*

Digitized by Google

Κεφ. λζ΄.

Καὶ ἐγένετο ἐπ' ἐμὲ χεὶρ Κυρίου, καὶ ἐξήγαγέ με ἐν πνεύματι (1) Κυρίου, καὶ ἔθηκέ με ἐν μέσῳ τοῦ πεδίου, καὶ τοῦτο ἦν μεστὸν ὀστέων ÷ ἀνθρωπίνων, ⁄

2. καὶ περιήγαγέ με ἐπ' αὐτὰ κυκλόθεν κύκλῳ, καὶ ἰδοὺ πολλὰ σφόδρα ἐπὶ προσώπου τοῦ (2) πεδίου, καὶ ἰδοὺ ξηρὰ σφόδρα.

3. Καὶ (3) εἶπεν πρὸς μὲ, υἱὲ ἀνθρώπου, εἰ ζήσεται τὰ (4) ὀστᾶ ταῦτα; καὶ εἶπα, Κύριε Κύριε, σὺ (5) ἐπίστασαι ÷ ταῦτα. ⁄

4. Καὶ (6) εἶπεν πρὸς (7) μὲ, υἱὲ ἀνθρώπου προφήτευσον ἐπὶ τὰ ὀστᾶ ταῦτα, καὶ ἐρεῖς αὐτοῖς· τὰ ὀστᾶ τὰ ξηρὰ ἀκούσατε λόγον Κυρίου.

5. Τάδε λέγει (8) Κυρίος Κύριος τοῖς ὀστέοις τούτοις· ἰδοὺ ἐγὼ φέρω (9) εἰς ὑμᾶς πνεῦμα ζωῆς,

6. καὶ δώσω ἐφ' ὑμᾶς νεῦρα, καὶ ἀνάξω ἐφ' ὑμᾶς (10) σάρκας, καὶ ἐκτενῶ ἐφ' ὑμᾶς δέρμα, καὶ δώσω (11) εἰς ὑμᾶς πνεῦμά μου, καὶ ζήσεσθε, καὶ γνώσεσθε ὅτι ἐγώ εἰμι Κύριος.

Cap. XXXVII.

Et facta est super me manus Domini, et eduxit me in spiritu Domini, et posuit me in medio campi, et hic erat plenus ossium ÷ hominum, ⁄

2. et circumduxit me super ea per gyrum in circuitu: et ecce multa nimis super faciem campi, et ecce arida vehementer.

3. Et dixit ad me; fili hominis, si vivent ossa haec? et dixi, Domine Domine, tu nosti ÷ haec. ⁄

4. Et dixit ad me: fili hominis, propheta super ossa ista, et dices eis: ossa arida audite verbum Domini.

5. Haec dicit Dominus Dominus ossibus istis: ecce ego affero in vos spiritum vitae:

6. et dabo super vos nervos, et inducam super vos carnes, et extendam super vos pellem, et dabo in vos spiritum meum; et vivetis, et cognoscetis quoniam ego sum Dominus.

ויוציאני ברוח יהוה 1. - O. *καὶ ἐξήγαγέ με ἐν πνεύματι κύριος* - Ἀλλ. *καὶ ἐξήγαγέ με ἐν πνεύματι κυρίου H. M.*

1. *H., Alius, Vulg.* et eduxit me in spiritu Domini - *LXX.* et eduxit me in spiritu Dominus.

---

(1) *κύριος, καί* - *Comp. ed. κυρίου, καί* - *Vulg.* Domini: et. (2) *πεδίου, ξηρά* - *Alex.*, et *Ald. καὶ ἰδοὺ ξηρά* - *H.* והנה יבשות (3) *εἶπε.* (4) *ὀστέα* - *Alex. ὀστᾶ.* (5) *ἐπίστη* - *Ald.*, *C. ἐπίστασαι.* (6) *εἶπε.* (7) *με, Προφήτευσον* - *Ald. με, Υἱὲ ἀνθρώπε, προφήτευσον. Et ita Hieron. ex LXX.* (8) *κύριος τοῖς* - *Alex.*, et *C. κύριος κύριος* - *H.* אדני יהוה - *Vulg.* Dominus Deus. *Et ita Hieron.* (9) *ἐφ' ὑμᾶς* - *Alex.*, et *C. εἰς ὑμᾶς.* (10) *σάρκα* - *Alex. σάρκας* - *Vulg.* carnes. (11) *πνεῦμά μου εἰς ὑμᾶς.*

Digitized by Google

7. Καὶ προεφήτευσα, καθὼς ἐνετείλατό [12] μοι Κύριος, καὶ [13] ἐγένετο ※ φωνὴ, ⁄ ἐν τῷ ἐμὲ προφητεῦσαι, καὶ ἰδοὺ σεισμὸς, καὶ προσήγαγε τὰ ὀστᾶ [14] ὀστεὸν πρὸς τὴν ἁρμονίαν αὐτοῦ.

7. Et prophetavi sicut praecepit mihi Dominus: et facta est ※ vox, ⁄ quum ego prophetarem: et ecce commotio: et accedebant ossa, os ad juncturam suam.

8. Καὶ [15] εἶδον, καὶ ἰδοὺ ἐπ᾽ αὐτὰ νεῦρα καὶ σάρκες ἐφύοντο, καὶ ἀνέβαινεν ἐπ᾽ αὐτὰ [16] δέρμα ἐπάνω, καὶ πνεῦμα οὐκ ἦν [17] ἐν αὐτοῖς.

8. Et vidi, et ecce super ea nervi, et carnes oriebantur, et ascendebat super ea pellis desuper; et spiritus non erat in eis.

9. Καὶ [18] εἶπεν πρός μέ· προφήτευσον ἐπὶ τὸ πνεῦμα, προφήτευσον, υἱὲ ἀνθρώπου, καὶ εἰπὸν τῷ πνεύματι· τάδε λέγει [19] Κύριος Κύριος· ἐκ τῶν τεσσάρων πνευμάτων [20] ἐλθὲ ※ τὸ πνεῦμα, ⁄ καὶ ἐμφύσησον εἰς τοὺς νεκροὺς τούτους, καὶ ζησάτωσαν.

9. Et dixit ad me: propheta super spiritum, propheta, fili hominis, et dic spiritui: haec dicit Dominus Dominus: a quatuor spiritibus veni ※ spiritus, ⁄ et insuflla in mortuos istos, et vivant.

10. Καὶ [21] ἐπροεφήτευσα καθότι ἐνετείλατό μοι, καὶ εἰσῆλθεν εἰς αὐτοὺς τὸ πνεῦμα, καὶ ἔζησαν, καὶ ἔστησαν ἐπὶ τῶν ποδῶν αὐτῶν, συναγωγὴ πολλὴ [22] σφόδρα ※ σφόδρα. ⁄

10. Et prophetavi sicut praeceperat mihi: et ingressus est in eos spiritus, et vixerunt, et steterunt in pedibus suis: congregatio multa nimis ※ valde. ⁄

11. Καὶ ἐλάλησε Κύριος πρὸς μὲ, λέγων· υἱὲ ἀνθρώπου, τὰ ὀστᾶ ταῦτα πᾶς οἶκος Ἰσραήλ. [23] ἐστιν, αὐτοὶ λέγουσι, ξηρὰ γέγονε τὰ ὀστᾶ ἡμῶν, ἀπόλωλεν ἡ ἐλπὶς ἡμῶν, διαπεφωνήκαμεν.

11. Et loquutus est Dominus ad me, dicens: fili hominis, ossa haec omnis domus Israël est: ipsi dicunt, arida facta sunt ossa nostra, periit spes nostra, desperavimus.

---

9. מארבע רוחות באי הרוח - A. ἐκ τῶν τεσσάρων ἀνέμων ἐλθὲ πνεῦμα - O. ἐκ τῶν τεσσάρων πνευμάτων ἐλθὲ *H. M.*

9. *H.*, *A.*, *Vulg.* a quatuor ventis veni, spiritus - LXX. a quatuor ventis veni.

ופחי בהרוגים האלה - A. καὶ ἐμφύσησον ἐν τοῖς πεφονευμένοις τούτοις - O. καὶ ἐμφύσησον εἰς τοὺς νεκροὺς τούτους *H. M.*

H., *A.*, *Vulg.* et insuflla super interfectos istos - LXX. et insuflla in mortuos istos.

10. חיל גדול - A., Σ., Θ. δύναμις μεγάλη - O. συναγωγὴ πολλὴ *H. M.*

10. *H.* virtus magna - *A.*, *S.*, *Th.* exercitus magnus - LXX. synagoga multa - *Vulg.* exercitus grandis.

---

(12) μοι· καὶ - *Alex.*, *Ald.* κύριος. (13) ἐγένετο ἐν τῷ - *Alex.*, *Ald.*, *C.* φωνὴ ἐν τῷ - *H.* קול - *Vulg.* sonitus - *Hieron. juxta* LXX. vox. (14) ἑκάτερον πρὸς - *Ald.* ὀστέον. (15) ἴδον. (16) δέρματα - *Alex.*, *Ald.* δέρμα - *H.* עור - *Vulg.* cutis. (17) ἐπ᾽ αὐτοῖς - *Alex.* ἐν αὐτοῖς. (18) εἶπε. (19) κύριος, Ἐκ - *Alex.*, *Ald.*, *C.* κύριος κύριος - *H.* ארני יהוה - *Vulg.* Dominus Deus. *Et ita Hieron.* (20) ἐλθὲ, καὶ - *C.* ἐλθὲ πνεῦμα, καὶ - *H.* באי הרוח - *Vulg.* veni spiritus. *Et ita Hieron.* (21) προεφήτευσα - *Alex.* ἐπροεφήτευσα. (22) σφόδρα. Καὶ - *C.* σφόδρα σφόδρα - *H.* מאר מאר - *Vulg.* nimis valde. *Et ita Hieron.* (23) ἐστι, καὶ αὐτοὶ - *in Hebr.*, *et Vulg. vox* καὶ *deest.*

Digitized by Google

12. Διὰ τοῦτο προφήτευσον, καὶ [24] εἰπὸν πρὸς ※ αὐτούς· ⁄ τάδε λέγει [25] Κύριος Κύριος· ἰδοὺ ἐγὼ ἀνοίγω τὰ μνήματα ὑμῶν, καὶ ἀνάξω ὑμᾶς ἐκ τῶν μνημάτων [26] ὑμῶν ※ λαός μου, ⁄ καὶ εἰσάξω ὑμᾶς εἰς τὴν γῆν τοῦ Ἰσραὴλ,

13. ※ καὶ γνώ※σεσθε ⁄ ὅτι ἐγώ εἰμι Κύριος, ἐν τῷ ἀνοῖξαί με τοὺς τάφους ὑμῶν, τοῦ ἀναγαγεῖν [27] με ※ ὑμᾶς ⁄ ἐκ τῶν τάφων ※ ὑμῶν, ⁄ λαός μου.

14. Καὶ [28] δώσω τὸ πνεῦμά μου εἰς ὑμᾶς, καὶ ζήσεσθε, καὶ θήσομαι ὑμᾶς ἐπὶ τὴν γῆν ὑμῶν, καὶ γνώσεσθε ὅτι ἐγὼ Κύριος [29] ἐλάλησα καὶ ποιήσω, λέγει [30] Κύριος Κύριος.

15. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ, [31] λέγων·

16. ※ καὶ σὺ, ⁄ υἱὲ ἀνθρώπου, λάβε σεαυτῷ [32] ῥάβδον ※ μίαν, ⁄ καὶ γράψον ἐπ' αὐτὴν τὸν Ἰούδαν, καὶ τοὺς υἱοὺς Ἰσραὴλ τοὺς προσκειμένους ἐπ' αὐτόν· καὶ ῥάβδον δευτέραν λήψῃ σεαυτῷ, καὶ [33] γράψεις ἐπ' αὐτὴν τῷ Ἰωσὴφ, ῥάβδον Ἐφραὶμ, καὶ πάντας τοὺς υἱοὺς Ἰσραὴλ τοὺς προστεθέντας πρὸς αὐτόν·

12. Propterea vaticinare, et dic ※ ad eos: ⁄ haec dicit Dominus Dominus: ecce ego aperio memorias vestras, et reducam vos de sepulchris vestris ※ populus meus, ⁄ et introducam vos in terram Israël,

13. ※ et cognoscetis ⁄ quoniam ego sum Dominus, quum aperuero sepulchra vestra, ut educam ※ vos ⁄ de sepulchris ※ vestris, ⁄ populus meus.

14. Et dabo spiritum meum in vos, et vivetis: et ponam vos super terram vestram; et cognoscetis quia ego Dominus loquutus sum, et faciam, dicit Dominus Dominus.

15. Et factus est sermo Domini ad me, dicens:

16. ※ et tu, ⁄ fili hominis, assume tibi virgam ※ unam, ⁄ et scribe super eam Judam, et filios Israël, qui appositi sunt ei: et virgam secundam assumes tibi, et scribes super eam Joseph, virgam Ephraem, et omnes filios Israël, qui appositi sunt ei:

---

12. - Ἄλλ. ὑμᾶς ἐκ τῶν τάφων ὑμῶν λαός μου - O. ὑμᾶς ἐκ τῶν μνημάτων ὑμῶν H. M. אתכם מקברותיכם עמי

12. *H.* vos ex sepulchris vestris popule mi - *Alius*, *Vulg.* vos de sepulchris vestris populus meus - LXX. vos de monumentis vestris.

---

(24) εἰπὸν, Τόδε - *Alex.* πρὸς αὐτοὺς, Τάδε - *H.* אליהם כה - *Vulg.* ad eos: haec. *Et ita Hieron.* (25) κύριος, Ἰδού - *H.* אדני יהוה - *Vulg.* Dominus Deus. (26) ὑμῶν, καὶ εἰσάξω - [Ἄλλος, λαός μου *ex Drusio H. M.*] - *H.* עמי והבאתי - *Vulg.* populus meus, et inducam. *Et ita Hieron.* (27) με ἐκ τῶν τάφων τὸν λαόν μου - *Alex.*, *Ald.*, *C.* ὑμᾶς ἐκ τῶν τάφων ὑμῶν τὸν (*C. deest*) λαὸν (*Ald.* λαός) - *H.* אתכם מקברותיכם עמי - *Vulg.* vos de tumulis vestris populus meus. *Et ita Hieron.* (28) δώσω πνεῦμα. (29) λελάληκα. (30) κύριος. Καί - *Alex.*, *Ald.* κύριος κύριος - *C.* κύριος ὁ Θεός - *Vulg.* Dominus Deus. *Et ita Hieron.* (31) λέγων, Υἱέ - *H.* לאמר: ואתה - *Vulg.* dicens: et tu. *Et ita Hieron.* (32) ῥάβδον, καί - *H.* עץ אחד - *Vulg.* lignum unum - *Hieron. ex* LXX. virgam unam. (33) γράψεις αὐτήν - *H.* עליו - *Vulg.* super illud.

Digitized by Google

17. καὶ συνάψεις αὐτὰς πρὸς ἀλλήλας σαυτῷ εἰς ῥάβδον μίαν, τοῦ δῆσαι ÷ [34] αὐτὰς, ⁄ καὶ ἔσονται ἐν τῇ χειρί σου.

18. Καὶ ἔσται, ὅτ' ἂν λέγωσι πρὸς σὲ οἱ υἱοὶ τοῦ λαοῦ [35] σου, ⋇ λέγοντες, ⁄ οὐκ [36] ἀπαγγελεῖς ἡμῖν, τί ἐστι ταῦτά σοι;

19. Καὶ ἐρεῖς πρὸς αὐτούς· τάδε λέγει [37] Κύριος Κύριος· ἰδοὺ ἐγὼ λήψομαι τὴν φυλὴν Ἰωσὴφ, ⋇ τὴν διὰ χειρὸς Ἐφραῒμ, καὶ τὰς φυλὰς Ἰσραὴλ τὰς προσκειμένας πρὸς αὐτὸν, καὶ δώσω αὐτοὺς ἐπὶ τὴν φυλὴν Ἰούδα, καὶ ἔσονται εἰς ῥάβδον [38] μίαν, ⋇ καὶ ἔσονται μία ἐν τῇ χειρὶ Ἰούδα.

20. Καὶ ἔσονται αἱ ῥάβδοι, ἐφ' αἷς σὺ ἔγραψας ἐπ' αὐταῖς, ἐν τῇ χειρί σου ἐνώπιον αὐτῶν.

21. Καὶ ἐρεῖς αὐτοῖς· τάδε λέγει Κύριος Κύριος· ἰδοὺ ἐγὼ λαμβάνω πάντα οἶκον Ἰσραὴλ ἐκ μέσου τῶν ἐθνῶν, οὗ εἰσήλθωσαν ἐκεῖ, καὶ συνάξω αὐτοὺς ἀπὸ ÷ πάντων ⁄ τῶν περικύκλῳ αὐτῶν, καὶ εἰσάξω αὐτοὺς εἰς τὴν γῆν τοῦ Ἰσραὴλ,

22. καὶ δώσω αὐτοὺς [39] εἰς ἔθνος ἓν ἐν τῇ γῇ μου, καὶ ἐν τοῖς ὄρεσιν Ἰσραήλ· καὶ ἄρχων εἷς ἔσται [40] αὐτῶν ⋇ εἰς βασιλέα, ⁄ καὶ οὐκ ἔσονται ἔτι εἰς δύο ἔθνη, οὐδὲ μὴ διαιρεθῶσιν οὐκ ἔτι εἰς δύο βασιλείας,

17. et conjunges eas invicem tibi in virgam unam, ut copules ÷ eas, ⁄ et erunt in manu tua.

18. Et erit, quando dixerint tibi filii populi tui, ⋇ dicentes, ⁄ non dices nobis, quid sint ista tibi?

19. Et dices ad eos: haec dicit Dominus Dominus: ecce ego assumam tribum Joseph, ⋇ quae in manu Ephraem, et tribus Israël, quae adjunctae sunt ei: et dabo eos super tribum Juda, et erunt in virgam unam, ⋇ et erunt una in manu Juda.

20. Et erunt virgae, in quibus tu scripsisti in eis, in manu tua coram eis.

21. Et dices eis: haec dicit Dominus Dominus: ecce ego assumo omnem domum Israël de medio gentium, quo ingressi sunt illuc; et congregabo eos ex ÷ omnibus ⁄ qui in circuitu eorum sunt, et inducam eos in terram Israël,

22. et dabo eos in gentem unam in terra mea, et in montibus Israël: et princeps unus erit eorum ⋇ in regem, ⁄ et non erunt ultra in duas gentes, nec dividentur ultra in duo regna;

לכלם למלך 22. - Ἄλλ. πάντων αὐτῶν εἰς βασιλέα *H. M.*

22. *H.* omnibus illis in regem - *Al.* omnium ipsorum in regem - *Vulg.* omnibus imperans.

---

(34) ἑαυτάς - *Alex.* αὐτάς. (35) σου, οὐκ - *Alex.* λέγοντες, οὐκ - *H.* לאמר - *Vulg.* loquentes. *Et ita Hieron.* (36) ἀναγγέλλεις. (37) κύριος, Ἰδού - *Alex.* ἀδωναΐ κύριος - *Ald.* κύριος κύριος - *C.* κύριος ὁ θεός - *H.* אדני יהוה - *Vulg.* Dominus Deus. (38) μίαν τῇ χειρί - *Alex.*, *Ald.* ἐν τῇ - *C.* καὶ ἔσονται μία ἐν τῇ - *H.* אחד והיו אחד ביד - *Vulg.* unum: et erunt unum in manu - *Hieron. ex LXX.* et erunt una. (39) εἰς ἔθνος ἐν τῇ γῇ - *H.* לגוי אחד בארץ - *Vulg.* in gentem unam in terra. *Et ita Hieron.* (40) αὐτῶν, καὶ οὐκ - *C.* εἰς βασιλέα - *H.* למלך - *Vulg.* imperans - *Hieron. ex LXX.* in regem.

23. ἵνα μὴ μιαίνωνται ἔτι ἐν τοῖς εἰδώλοις (41) αὐτῶν, ※ καὶ ἐν τοῖς προσοχθίσμασιν αὐτῶν, καὶ ἐν πάσαις ταῖς ἀσεβείαις αὐτῶν, ⁄. καὶ ῥύσομαι αὐτοὺς ἀπὸ πασῶν τῶν ἀνομιῶν αὐτῶν, ὧν (42) ἥμαρτον ἐν αὐταῖς, καὶ καθαριῶ αὐτούς, καὶ ἔσονταί μοι εἰς λαόν, καὶ (43) ἐγὼ ἔσομαι αὐτοῖς εἰς Θεόν.

23. ut non polluantur ultra in idolis suis, ※ et in offendiculis suis, et in omnibus impietatibus suis, ⁄. et eruam eos ex omnibus iniquitatibus eorum, in quibus peccaverunt in eis: et mundabo eos, et erunt mihi in populum, et ego ero eis in Deum.

24. Καὶ ὁ δοῦλός μου Δαυὶδ ἄρχων ἐν μέσῳ (44) αὐτῶν, καὶ ποιμὴν εἷς ἔσται πάντων ※ αὐτῶν, ⁄. ὅτι ἐν τοῖς προστάγμασί μου πορεύσονται, καὶ τὰ κρίματά μου φυλάξονται, καὶ ποιήσουσιν αὐτά·

24. Et servus meus David princeps in medio eorum, et pastor unus erit omnium ※ eorum, ⁄. quia in praeceptis meis ambulabunt, et judicia mea custodient, et facient ea:

25. καὶ κατοικήσουσιν ἐπὶ τῆς γῆς αὐτῶν, ἣν ἐγὼ δέδωκα τῷ δούλῳ μου Ἰακώβ, οὗ κατῴκησαν ἐκεῖ οἱ πατέρες αὐτῶν, καὶ κατοικήσουσιν ἐπὶ αὐτῆς (45) αὐτοί, ※ καὶ οἱ υἱοὶ αὐτῶν, καὶ οἱ υἱοὶ τῶν υἱῶν αὐτῶν ἕως αἰῶνος, ⁄. καὶ Δαυὶδ ὁ δοῦλός μου (46) ἄρχων αὐτῶν ÷ ἔσται / εἰς τὸν αἰῶνα.

25. et habitabunt in terra sua, quam ego dedi servo meo Jacob, ubi habitaverunt illic patres eorum: et habitabunt in ea ipsi, ※ et filii eorum, et filii filiorum eorum usque in sempiternum; ⁄. et David servus meus princeps eorum ÷ erit / in perpetuum.

---

23. - ※ καὶ ἐν τοῖς προσοχθίσμασιν αὐτῶν, καὶ ἐν πάσαις ταῖς ἀσεβείαις αὐτῶν - *In O. vacat. H. M.* ובשקוציהם ובכל פשעיהם

25. - A., Θ. καὶ οἱ υἱοὶ αὐτῶν, καὶ οἱ υἱοὶ τῶν υἱῶν αὐτῶν *H. M.* ובניהם ובני בניהם

23. *H.* et in foeditatibus suis, et in cunctis praevaricationibus suis - ※ et in offendiculis eorum, et omnibus impietatibus eorum - *In LXX. vacat* - *Vulg.* et abominationibus suis, et cunctis iniquitatibus suis.

25. *H.*, ※ *A.*, *Th.*, *Vulg.* et filii eorum, et filii filiorum eorum.

---

(41) αὐτῶν· καὶ ῥύσομαι - [*Ms. Jes.* ※ καὶ ἐν τοῖς προσοχθίσμασιν αὐτῶν, καὶ ἐν πάσαις ταῖς ἀσεβείαις αὐτῶν *H. M.*] - *Alex.* αὐτῶν, ἐν οἷς ἡμάρτοσαν ἐν αὐτοῖς, καὶ ἐν τοῖς προσοχθίσμασιν αὐτῶν, καὶ ἐν πάσαις ταῖς βασιλείαις αὐτῶν· καὶ ῥύσομαι - *Ald.*, *C.* αὐτῶν, καὶ ἐν τοῖς προσκόμμασιν (*Ald.* προσοχθίσμασιν) αὐτῶν, καὶ ἐν ἀσεβείαις αὐτῶν· καὶ ῥύσομαι - *H.* ובשקוציהם ובכל פשעיהם - *Vulg.* et abominationibus suis, et cunctis iniquitatibus suis - *Hieron. ex LXX.* et in offendiculis suis, et in omnibus impietatibus suis. (42) ἡμάρτοσαν - *Ald.* ἥμαρτον. (43) ἐγὼ κύριος ἔσομαι - *in Ald., et C.* κύριος *deest, ut etiam in Hebr. et Vulg.* (44) αὐτῶν, ἔσται ποιμὴν εἷς πάντων, ὅτι - *Alex.*, *Ald.* καὶ (*in Ald. deest*) ποιμὴν εἷς ἔσται πάντων - *H.* ורועה אחד יהיה לכלם - *Vulg.* et pastor unus erit omnium eorum. *Et ita Hieron.* (45) αὐτοί· καὶ Δαυὶδ - [*Ms. Jes.* ※ A., Θ. καὶ οἱ υἱοὶ αὐτῶν *etc., ut in Codice nostro. H. M.*] - *Alex.*, *Ald.*, *C.* αὐτοί, καὶ οἱ υἱοὶ αὐτῶν, καὶ οἱ υἱοὶ τῶν υἱῶν αὐτῶν ἕως τοῦ (*in Alex. deest*) αἰῶνος· καί - *H.* המה ובניהם ובני בניהם עד־עולם ודוד - *Vulg.* ipsi, et filii eorum, et filii filiorum eorum, usque in sempiternum: et David. *Et ita Hieron.* (46) ἄρχων εἰς - *Alex.*, *Ald.*, *C.* αὐτῶν ἔσται (*in C. deest*) εἰς - *H.* נשיא להם - *Vulg.* princeps eorum.

Digitized by Google

26. Καὶ διαθήσομαι αὐτοῖς διαθήκην εἰρήνης, διαθήκη αἰωνία ἔσται μετ' [47] αὐτῶν· ※ καὶ δώσω αὐτοὺς, καὶ πληθυνῶ αὐτοὺς, ⁄ καὶ θήσω τὰ ἅγιά μου ἐν μέσῳ αὐτῶν εἰς τὸν αἰῶνα·

27. καὶ ἔσται ἡ κατασκήνωσίς μου ἐν αὐτοῖς, καὶ ἔσομαι αὐτοῖς Θεὸς, καὶ αὐτοί [48] ἔσονταί μου λαός.

28. Καὶ γνώσονται τὰ ἔθνη ὅτι ἐγώ εἰμι Κύριος ὁ ἁγιάζων αὐτοὺς, ἐν τῷ εἶναι τὰ ἅγιά μου ἐν μέσῳ αὐτῶν εἰς τὸν αἰῶνα.

26. Et disponam eis testamentum pacis; testamentum sempiternum erit cum eis: ※ et dabo eos, et multiplicabo eos, ⁄ et ponam sancta mea in medio eorum in perpetuum:

27. et erit tabernaculum meum in eis: et ero eis Deus, et ipsi erunt mihi populus.

28. Et scient gentes, quia ego sum Dominus, qui sanctifico eos, quum fuerint sancta mea in medio eorum in perpetuum.

---

26. - ונתתים והרביתי אותם ※ Α., Θ. καὶ δώσω (al. τάξω) αὐτοὺς, καὶ πληθυνῶ αὐτούς *H. M.*

26. *H.*, ※ *A.*, *Th.* et dabo eos, et multiplicabo eos - *Vulg.* et fundabo eos, et multiplicabo.

---

(47) αὐτῶν· καὶ θήσω - [*Ms. Jes.* ※ Α., Θ. καὶ δώσω αὐτοὺς καὶ πληθυνῶ αὐτούς. *Et ita Comp. H. M.*] - *H.* ונתתים והרביתי אותם - *Vulg.* et fundabo eos, et multiplicabo, et. - *Hieron. ex* LXX. dabo eos, et multiplicabo eos, et. (48) μου ἔσονται.

NOTÆ, ET VARIÆ LECTIONES

1. *In hunc locum notat Drusius apud Montfauc.* ויוציאני ברוח יהוה *Verba haec ambigua sunt. Nam verti possunt*, et eduxit me in spiritu Dominus: et eduxit me, *nempe manus Domini*, in spiritu Domini. *Utraque interpretatio extat in Codicibus Graecis. Hieron. autem hanc postremam in versione sua secutus est. Cui infirmandae verbum masculinum* ויוציא eduxit, *cum nomen* יד *, quod* manum *significat, in communi usu faemininum sit. Verba Hieron. in Comment.* Et eduxit me in spiritu Domini, *subauditur*, manus Domini. *Cui favet locus Sophoniae* 3. 16. *ubi* יד *masculine constituitur. R. David annotat alium reperiri in quinque Megellis. Chis. in textu legit*, ἐν πνεύματι κυρίου.

7. *Notat Drusius* καὶ ἐγίνετο φωνή, *ubi* LXX. καὶ ἐγίνετο *tantum habent. Sed* קול φωνή *exprimitur in Hebr. Cui favet Chis. in textu, qui eamdem vocem legit sub asterisco.*

9. Α. ἐκ τῶν τεσσάρων etc. *Ms. Reg. apud Montfauc. In textu Chis. exhibetur tantum sub asterisco cum linea terminali* τὸ πνεῦμα, *superiora vero quadrant cum* LXX.

Ibid. Α. καὶ ἐμφύσησον etc. *Ms. Reg. Itidem apud Montfauc.*

10. Α., Σ., Θ. δύναμις μεγάλη *Montfauc. ex Drusio, et ex Ms. Reg. Ibid. notat Drusius* σφόδρα σφόδρα *pro* מאד מאד *ubi* LXX. σφόδρα *semel. At Chis. in textu bis legit. et postremo praefigit stellulam cum linea terminali.*

12. Ἄλλ. ὑμᾶς ἐκ τῶν τάφων etc. *Montfauc. ex Drusio. In textu autem Codicis Chis. habetur tantummodo sic* ※ λαός μου ⁄ *caetera conveniunt cum* τοῖς Ο.

22. Ἄλλ. πάντων αὐτῶν etc. *Theodoretus apud*

Montfauc. qui ait: « Verisimile est sic olim habuisse LXX *Interpretes:» Hieronymus quippe in* LXX *legit*, omnium istorum in regem. *At Chis. in textu habet sic*, ※ εἰς βασιλέα ⁄. *Unde si vera est nota asterisci oportet hoc saltem defuisse in* LXX.

23. ※ καὶ ἐν τοῖς προσοχθίσμασιν etc. *Ms. Jes. apud Montfauc. Sic etiam in textu Chis. ad verbum.*

25. ※ Α., Θ. καὶ οἱ υἱοὶ αὐτῶν etc. *Ms. Jes. Similiter Chis. in textu omissis* Α. *et* Θ., *ac praeterea postremo*, αὐτῶν *adjicit*, ἕως αἰῶνος, *ubi ponit lineam cuspidatam terminalem.*

26. ※ Α., Θ. καὶ δώσω αὐτούς etc. *Ms. Jes.*, *Ms. vero Reg. et Drusius habent*, καὶ τάξω αὐτούς etc. *Ita apud Montfauc. Chis. vero in textu convenit ad verbum cum Ms. Jes. praeter Interpretes, quos de more praetermittit.*

Κεφ. λή.

Καὶ ἐγένετο λόγος Κυρίου πρὸς μὲ, λέγων·

2. υἱὲ ἀνθρώπου, στήρισον τὸ πρόσωπόν σου ἐπὶ Γὼγ, καὶ τὴν γῆν τοῦ Μαγὼγ ἄρχοντα [1] Ῥὼς, καὶ Μεσὸχ, καὶ Θοβὲλ, καὶ προφήτευσον ἐπ' αὐτὸν,

3. καὶ εἰπὸν αὐτῷ· τάδε λέγει Κύριος Κύριος· ἰδοὺ ἐγὼ [2] ἐπὶ σὲ Γὼγ, ἄρχοντα Ῥὼς, Μεσὸχ, καὶ [3] Θοβὲλ,

4. ※ καὶ περιστρέψω σε, καὶ δώσω χαλινὸν εἰς τὰς σιαγόνας σου, ⁄ καὶ συν-

CAP. XXXVIII.

Et factus sermo Domini ad me, dicens:

2. fili hominis, obfirma faciem tuam super Gog, et terram Magog, principem Rhos, et Mesoch, et Thobel, et vaticinare super eum,

3. et dic ei: haec dicit Dominus Dominus: ecce ego super te Gog, principem Rhos, Mesoch, et Thobel;

4. ※ et circumagam te, et ponam fraenum in maxillis tuis, ⁄

נשיא ראש משך ותובל 2. – Α. ἄρχοντα κεφαλῆς Μοσὸχ καὶ Θοβὲλ – Ὁ Σύρος, κεφαλῆς – Σ., Ο., Θ. ἄρχοντα Ῥὼς, Μεσὸχ (Ο. Μεσὸχ), καὶ Θοβὲλ *H. M.*

ושובבתיך ונתתי חחים בלחייך 4. – ※ Θ. καὶ περιστρέψω σε, καὶ δώσω χαλινὸν εἰς τὰς σιαγόνας σου – *In* Ο. *vacat. H. M.*

2. *H.* principem capitis Mosoch, et Thubal – *A.* principem capitis Mosoch, et Thobel – *Syrus* capitis – *S.*, LXX., *Th.* principem capitis Mosoch (LXX. Mesoch), et Thobel – *Vulg.* principem capitis Mosoch et Thubal.

4. *H.* et reducam te, et dabo hamos in maxillis tuis – ※ *Th.*, *Vulg.* et circumagam te, et ponam fraenum in maxillis tuis – *In* LXX. *vacat.*

---

(1) Ῥὼς Μεσόχ. (2) ἐπὶ σὲ ἄρχοντα – *Ms. Alex.* ἐπὶ σὲ Γώγ. – *H.* אליך גוג נשיא – *Vulg.* ad te Gog principem. *Et ita Hieron.* (3) Θοβὲλ, Καὶ συνάξω σε – [*Ms. Jes.* ※ Θ. καὶ περιστρέψω σε, καὶ δώσω χαλινὸν εἰς τὰς σιαγόνας σου. *H. M.*] – *C.* Περιάξω σε, καὶ θήσομαι χαλινὸν εἰς τὰς σιαγόνας σου, καὶ συνάξω σε – *Al.* Καὶ περιστρέψω σε κυκλόθεν, καὶ δώσω χαλινὸν εἰς τὰς σιαγόνας σου, καὶ συνάξω σε – *H.* תובל ושובבתיך ונתתי חחים בלחייך – *Vulg.* Thubal: Et circumagam te, et ponam fraenum in maxillis tuis. *Et ita Hieron.*

ἄξω σε, καὶ πᾶσαν τὴν δύναμίν σου, ἵππους καὶ ἱππεῖς ἐνδεδυμένους θώρακας πάντας, (4) συναγωγὴ πολλή, πέλται καὶ περικεφαλαῖαι καὶ (5) μάχαιραι ※ πάντες ※ αὐτοί, ⁄

5. Πέρσαι, καὶ Αἰθίοπες, καὶ (6) Λίβυες ※ μετ' αὐτῶν, ⁄ πάντες περικεφαλαίαις καὶ πέλταις,

6. Γομὲρ, καὶ πάντες οἱ περὶ αὐτόν, οἶκος τοῦ (7) Θεργαμᾶ ἀπ' ἐσχάτου Βορρᾶ, καὶ πάντες οἱ περὶ αὐτόν, καὶ ἔθνη πολλὰ μετὰ σοῦ.

7. Ἑτοιμάσθητι, ἑτοίμασον σεαυτὸν σὺ, καὶ πᾶσα ἡ συναγωγή σου, (8) οἱ συνηγμένοι μετὰ σοῦ, καὶ ἔσῃ μοι εἰς προφυλακήν.

8. Ἀφ' ἡμερῶν πλειόνων ἑτοιμασθήσεται, καὶ ἐπ' ἐσχάτου ἐτῶν ἐλεύσεται, καὶ ἥξει εἰς τὴν γῆν τὴν ἀπεστραμμένην ἀπὸ μαχαίρας, (9) συνηγμένην ἀπὸ ἐθνῶν πολλῶν, ἐπὶ γῆν Ισραὴλ, ἣ ἐγενήθη ἐρη-

et congregabo te, et omnem exercitum tuum, equos et equites vestitos loricis universos; congregatio multa, peltae, et galeae, et gladii ※ omnes ※ hi, ⁄

5. Persae, et Æthiopes, et Libyes ※ cum eis, ⁄ omnes galeis et peltis,

6. Gomer, et omnes qui circa eum, domus Thergama ab extremo Aquilonis, et omnes qui circa eum, et gentes multae tecum.

7. Praeparare, praepara te, tu, et omnis congregatio tua, qui collecti sunt tecum, et eris mihi in custodiam.

8. A diebus pluribus praeparabitur, et a novissimo annorum veniet; et veniet in terram, quae aversa est gladio, quae congregata est de gentibus multis super

---

קהל רב צנה ומגן תפשי חרבות כלם - ※ *συναγωγὴ πολλή, πέλτας καὶ ἀσπίδας, καὶ μαχαίρας πάντες αὐτοὶ ἔχοντες H. M.*

פרס כוש ופוט אתם כלם מגן וכובע 5. - Ἄλλος, *Πέρσαι, καὶ Αἰθίοπες, καὶ Λίβυες μετ' αὐτῶν, πάντες οὗτοι ἀσπίδας καὶ περικεφαλαίας ἔχοντες* - Θ. *Πέρσαι, καὶ Αἰθίοπες, καὶ Λίβυες, πάντες περικεφαλαίαις καὶ πέλταις H. M.*

ואת־כל־אגפיו 6. - Ἄλλος, *καὶ πάντα τὰ ὑποστηρίγματα αὐτοῦ* - Θ. *καὶ πάντες οἱ περὶ αὐτόν H. M.*

H. caetus multus scutum et clypeum, tenentes gladios omnes ipsi - ※ congregatio magna, peltas et clypeos et gladios omnes hi habentes - *Vulg.* multitudinem magnam, hastam et clypeum arripientium et gladium.

5. *H.* Paras, Chus, et Phuth cum eis, omnes ipsi clypeum et galeam - *Alius* Persae, et Ethiopes, et Lybies cum ipsis, omnes isti clypeos et galeas habentes - LXX. Persae, et Ethiopes, et Lybies, omnes galeis, et peltis - *Vulg.* Persae, Ethiopes, et Lybies cum eis, omnes scutati et galeati.

6. *H.* et omnes alae ejus - *Al.* et omnia sustentacula ejus - LXX. et omnes qui circa ipsum sunt - *Vulg.* et universa agmina ejus.

---

(4) *συναγωγῇ πολλῇ* - *Ald., C.* *συναγωγὴ πολλή.* (5) *μάχαιραι· Πέρσαι* [*Drusius* ※ . . . *πάντες αὐτοὶ H. M.*] - *H.* חרבות כלם (6) *Λίβυες, πάντες* - [Ἄλλος, *Λίβυες μετ' αὐτῶν. H. M.*] - *H.* פוט אתם - *Vulg.* Libyes cum eis. (7) Θοργαμά - *Alex.* Θεργαμά. (8) *ἡ συνηγμένη* - *Alex.*, et *C.* *οἱ συνηγμένοι* - *H.* הנקהלים (9) *συνηγμένων* - *H.* מקבצת - *Vulg.* congregata est.

μος δι' ὅλου· καὶ οὗτος ἐξ ἐθνῶν ἐξελήλυθε, καὶ κατοικήσουσιν ἐπ' εἰρήνης ἅπαντες.

terram Israël, quae facta est deserta omnino: et hic ex gentibus egressus est, et habitabunt in pace omnes.

9. Καὶ ἀναβήσῃ ὡς ὑετὸς, καὶ ἥξεις ὡς νεφέλη κατακαλύψαι γῆν, καὶ ἔσῃ σὺ καὶ πάντες οἱ περὶ σὲ, καὶ ἔθνη πολλὰ μετὰ σοῦ.

9. Et ascendes sicut pluvia, et venies sicut nubes ad operiendam terram; et eris tu, et omnes qui circa te, et gentes multae tecum.

10. Τάδε λέγει Κύριος Κύριος· καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἀναβήσεται ῥήματα ἐπὶ τὴν καρδίαν σου, καὶ λογιῇ λογισμοὺς πονηροὺς,

10. Haec dicit Dominus Dominus: et erit in die illa, ascendent verba super cor tuum, et cogitabis cogitationes pessimas,

11. καὶ ἐρεῖς· ἀναβήσομαι ἐπὶ γῆν ἀπερριμμένην, ἥξω [10] ἐφ' ἡσυχάζοντας [11] ἐν ἡσυχίᾳ, καὶ οἰκοῦντας ἐπ' εἰρήνης, πάντας κατοικοῦντας γῆν, ἐν ᾗ οὐχ' ὑπάρχει τεῖχος, οὐ-δὲ μοχλοὶ, καὶ θύραι οὐκ εἰσὶν [12] αὐταῖς,

11. et dices: ascendam super terram abjectam, veniam super quiescentes in quiete, et habitantes in pace, omnes habitantes terram, in qua non est murus, neque vectes, et portae non sunt eis,

12. προνομεῦσαι προνομὴν, καὶ [13] σκυλεῦσαι σκῦλα αὐτῶν, τοῦ ἐπιστρέψαι χεῖράς μου [14] εἰς γῆν ἠρημωμένην, ἣ [15] κατοικισθῇ, καὶ [16] ἐπὶ ἔθνος συνηγμένον ἀπὸ ἐθνῶν πολλῶν, πεποιηκότας [17] κτήσεις ⋇ καὶ ὕπαρξιν, ⁄ κατοικοῦντας ἐπὶ τὸν ὀμφαλὸν τῆς γῆς.

12 ad praedandum praedam, et spoliandum spolia eorum, ad convertendum manus meas in terram desolatam, quae habitata fuerit, et super gentem collectam de gentibus multis, qui fecerunt possessiones, ⋇ et substantiam, ⁄ habitantes super umbilicum terrae.

13. [18] Σαβὰ, καὶ [19] Δαδὰν, καὶ ἔμποροι Καρχηδόνιοι, καὶ πᾶσαι αἱ κῶμαι

13. Saba, et Dadan, et negotiatores Carthaginenses, et omnes

כשואה 9. - Ο. ὡς νεφέλη - Ἄλλος, ὡς καταιγὶς *H. M.*

סחרי תרשיש 13. - ὁ Ἑβρ., Σύρ. ἔμποροι Θαρσεῖς - Ο. ἔμποροι Καρχηδόνιοι *H. M.*

9. *H.*, *Alius*, *Vulg.* quasi tempestas - *LXX.* quasi nubes.

13. *H.*, *Hebr. Int.*, *Syrus*, *Vulg.* negotiatores Tharsis - *LXX.* negotiatores Carthaginensium.

---

(10) ἐπὶ ἡσυχάζοντας. (11) ἐν τῇ ἡσυχίᾳ - in *Alex.* τῇ *deest.* (12) αὐτοῖς - *Alex.* αὐταῖς. (13) σκῦλα σκυλεῦσαι - *Alex.* σκυλεῦσαι σκῦλα. *Et ita Hebr., et Vulg.* (14) εἰς τὴν ἠρημωμένην. (15) κατῳκίσθη. (16) ἐπ' - *Alex.* ἐπί. (17) κτήσεις, κατοικοῦντας - *H.* מקנה וקנין יושבי (18) Σαββά - *Alex.* Σαβά - *Vulg.* Saba. (19) Δαιδάν.

αὐτῶν ἐροῦσί σοι· εἰς προνομὴν τοῦ προνομεῦσαι σὺ ἔρχῃ, καὶ σκυλεῦσαι σκῦλα, συνήγαγες συναγωγήν σου, λαβεῖν ἀργύριον καὶ χρυσίον, ἀπενέγκασθαι κτῆσιν, τοῦ σκυλεῦσαι (20) σκῦλα μεγάλα· ⁄

14. Διὰ τοῦτο προφήτευσον, υἱὲ ἀνθρώπου, καὶ εἰπὸν τῷ Γώγ· τάδε λέγει Κύριος Κύριος· οὐκ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἐν τῷ κατοικισθῆναι τὸν λαόν μου Ἰσραὴλ ἐπ' εἰρήνης, ἐγερθήσῃ,

15. καὶ ἥξεις ἐκ τοῦ τόπου σου ἀπ' ἐσχάτου Βοῤῥᾶ, καὶ ἔθνη πολλὰ μετὰ σοῦ; ἀναβάται ἵππων πάντες, συναγωγὴ μεγάλη, καὶ δύναμις πολλή·

16. καὶ ἀναβήσῃ ἐπὶ τὸν λαόν μου Ἰσραὴλ ὡς νεφέλη καλύψαι γῆν· ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἔσται, καὶ ἀνάξω σε ἐπὶ τὴν γῆν μου, ἵνα γνῶσι πάντα τὰ ἔθνη ἐμὲ, ἐν τῷ ἁγιασθῆναί με ἐν σοὶ ἐνώπιον (21) αὐτῶν ⋇ Γώγ. ⁄

17. Τάδε λέγει Κύριος Κύριος τῷ Γώγ· ⁄ σὺ εἶ, περὶ οὗ ἐλάλησα πρὸ ἡμερῶν τῶν ἔμπροσθεν, διὰ χειρὸς τῶν δούλων μου τῶν προφητῶν τοῦ (22) Ἰσραὴλ ⋇ τῶν προφητευσάντων ⁄ ἐν ταῖς ἡμέραις ἐκείναις καὶ ἔτεσι, τοῦ (23) ἀγαγεῖν σὲ ἐπ' αὐτούς.

villae eorum dicent tibi: ad praedandum praedam tu venis, et spoliandum spolia congregasti congregationem tuam, ad tollendum argentum et aurum, ad auferendum possessionem, ad spoliandum spolia magna: ⁄

14. Propterea vaticinare, fili hominis, et dic ad Gog: haec dicit Dominus Dominus; nonne in die illa, quum habitaverit populus meus Israël in pace, consurges,

15. et venies de loco tuo ab extremo Aquilonis, et gentes multae tecum? ascensores equorum omnes, congregatio magna, et exercitus multus:

16. et ascendes super populum meum Israël, quasi nubes, ut operias terram: in novissimis diebus erit, et adducam te super terram meam, ut sciant omnes gentes me, quum sanctificatus fuero in te coram eis ⋇ Gog. ⁄

17. Haec dicit Dominus Dominus ad Gog: ⁄ tu es, de quo loquutus sum ante dies priores per manum servorum meorum prophetarum Israël, ⋇ qui prophetaverunt ⁄ in diebus illis et annis, ut adducerem te super eos.

וכל־כפיריה - O., Θ. *καὶ πᾶσαι αἱ κῶμαι αὐτῆς* - O. *αὐτῶν H. M.*

הנבאים 17. - Ἄλλ. *τῶν προφητευσάντων* - *In* O. *vacat H. M.*

H. et omnes leunculi ejus - *LXX.*, *Th.* et omnes villae ejus - *Vulg.* et omnes leones ejus.

17. *H.* prophetantium - *Alius*, *Vulg.* qui prophetaverunt - *In LXX. vacat.*

---

(20) *σκῦλα. Διατοῦτο* - *C. σκῦλα μεγάλα* - *H.* שלל גדול - *Vulg.* manubias infinitas. *Et ita Hieron.* (21) *αὐτῶν. Τάδε* - *H.* גוג כה - *Vulg.* o Gog. Haec. *Et ita Hieron.* (22) Ἰσραὴλ, *ἐν ταῖς* - [Ἄλλος, *τῶν προφητευσάντων. H. M.*] - *C. οἱ προφητεύσαντες ἐν* - *H.* ישראל הנבאים - *Vulg.* Israël, qui prophetaverunt. *Et ita Hieron.* (23) *ἀναγαγεῖν σε.*

Digitized by Google

18. Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἐν ἡμέρᾳ ᾗ ἂν ἔλθῃ Γὼγ ἐπὶ τὴν γῆν Ἰσραὴλ, λέγει Κύριος Κύριος, ἀναβήσεται ὁ [24] θυμός μου ⋇ ἐν ὀργῇ μου, ⁄.

18. Et erit in die illa, in die qua venerit Gog super terram Israël, dicit Dominus Dominus, ascendet furor meus ⋇ in ira mea, ⁄.

19. καὶ ὁ ζῆλός μου· ἐν πυρὶ τῆς ὀργῆς μου ἐλάλησα, εἰ μὴν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται σεισμὸς μέγας ἐπὶ γῆς Ἰσραήλ·

19. et zelus meus: in igne irae meae loquutus sum, si non in die illa erit commotio magna super terram Israël:

20. καὶ σεισθήσονται [25] ἀπὸ προσώπου μου οἱ ἰχθύες τῆς θαλάσσης, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ τὰ θηρία τοῦ πεδίου, καὶ πάντα τὰ ἑρπετὰ τὰ ἕρποντα ἐπὶ τῆς γῆς, καὶ πάντες οἱ ἄνθρωποι οἱ ἐπὶ προσώπου τῆς γῆς, καὶ ῥαγήσεται τὰ ὄρη, καὶ πεσοῦνται αἱ φάραγγες, καὶ πᾶν τεῖχος ἐπὶ τὴν γῆν πεσεῖται.

20. et commovebuntur a facie mea pisces maris, et volatilia coeli, et bestiae campi, et omnia reptilia, quae reptant super terram, et omnes homines, qui sunt super faciem terrae: et scindentur montes, et cadent valles, et omnis murus super terram cadet.

21. Καὶ καλέσω [26] ἐπ' αὐτὸν πάντα φόβον μαχαίρας, λέγει Κύριος Κύριος· μάχαιραι [leg. μάχαιρα] ἀνθρώπου ἐπὶ τὸν ἀδελφὸν αὐτοῦ ἔσται.

21. Et vocabo super ipsum omnem formidinem gladii, dicit Dominus Dominus: gladius hominis super fratrem suum erit.

22. Καὶ κρινῶ αὐτὸν θανάτῳ, καὶ αἵματι, καὶ ὑετῷ κατακλύζοντι, καὶ λίθοις χαλάζης, καὶ πῦρ καὶ θεῖον βρέξω ἐπ' αὐτὸν, καὶ ἐπὶ πάντας τοὺς μετ' αὐτοῦ, καὶ ἐπ' ἔθνη πολλὰ μετ' αὐτοῦ.

22. Et judicabo eum peste, et sanguine, et pluvia inundante, et lapidibus grandinis; et ignem et sulphur pluam super eum, et super omnes qui cum eo, et super gentes multas cum eo.

תעלה חמתי באפי 18. - Ο. ἀναβήσεται ὁ θυμός μου - ⋇ Θ. ἐν ὀργῇ μου *H. M.*

18. *H.* ascendet furor meus in ira mea - *LXX.* ascendet furor meus - ⋇ *Th.* in ira mea - *Vulg.* ascendet indignatio mea in furore meo.

וקראתי עליו לכל־הרי חרב 21. - Ἄλλ. καὶ καλέσω ἐπ' αὐτὸν εἰς πάντα τὰ ὄρη μου μάχαιραν - Ο. καὶ καλέσω ἐπ' αὐτὸ καὶ πᾶν φόβον *(sic) H. M.*

21. *H.* et vocabo super eum in cunctis montibus meis gladium - *Al.* et vocabo super eum in omnes montes meos gladium - *LXX.* et vocabo super ipsum et omnem timorem - *Vulg.* et convocabo adversus eum in cunctis montibus meis gladium.

---

(24) θυμός μου, Καὶ ὁ - [*Ms. Jes.* ⋇ Θ. ἐν ὀργῇ μου. *H. M.*] - *H.* חמתי באפי - *Vulg.* indignatio mea in furore meo. *Et ita Hieron.* (25) ἀπὸ προσώπου κυρίου οἱ - *H.* מפני - *Vulg.* a facie mea. *Et ita Hieron.* (26) ἐπ' αὐτὸ καὶ πᾶν φόβον, λέγει - *Ald.* αὐτὸ πάντα φόβον μαχαίρας, λέγει - *C.* αὐτὸ πάντα φόβον, λέγει - *Alex.* φόβον μαχαίρας, λέγει - *H.* חרב נאם - *Vulg.* gladium, ait.

23. Καὶ μεγαλυνθήσομαι, καὶ ἁγιασθήσομαι, ÷ καὶ ἐνδοξασθήσομαι, ⁄ καὶ γνωσθήσομαι ἐναντίον ἐθνῶν πολλῶν, καὶ γνώσονται ὅτι ἐγώ εἰμι Κύριος.

23. Et magnificabor, et sanctificabor, ÷ et glorificabor, ⁄ et notus ero in conspectu gentium multarum: et scient quia ego sum Dominus.

NOTÆ, ET VARIÆ LECTIONES

2. Α. ἄρχοντα etc. *Apud Hexapla Montfauc. qui notat: Has omnes lectiones mutuamur ex Theodoreto, Drusio, et ex Ms. Jes. Sic autem habet Hieronymus: « Porro quod in exercitu Gog, sive Magog, qui juxta* LXX., *S., et Th. princeps est* Ros Mosoch et Thubal: *primam gentem Ros, Aquila interpretatur* caput, *quem nos secuti sumus, ut sit sensus*, principem capitis *Mosoch et Thubal. » Theodoretus vero*, τὸ δὲ Ῥὼς κεφαλὴν ὁ Σύρος ἡρμήνευσεν, καὶ ὁ Ἀκύλας δὲ κεφαλὴν Μοσὸχ, τὸ Ῥὼς Μοσὸχ ἡρμήνευσεν. *In textu Chis. habetur* ἄρχοντα Ῥὼς, καὶ Μεσὸχ, καὶ Θοβέλ.

4. ⁜ Θ. καὶ περιστρέψω σε etc. *Ms. Jes. apud Montfauc. Itemque Chis. in textu sine Interprete.*

Ibid. ⁜ συναγωγὴ πολλὴ etc. *Drusius apud Montfauc. In textu vero Chis. habetur tantum sic,* ⁜ πάντες ⁜ αὐτοὶ ⁄ *reliqua conveniunt cum* τοῖς Ο. *Editionis Romanae, quae exhibet*, συναγωγὴ πολλὴ, πέλται, καὶ περικεφαλαῖαι, καὶ μάχαιραι.

5. Ἄλλος, Πέρσαι etc. *Drusius, et* Λίβυες *Theodoretus, apud Montfauc. consonat cum* τοῖς Ο. *Chis. in textu, nisi quod adiicit* τὸ, μετ' αὐτῶν *sub asterisco cum linea cuspidata terminali.*

6. Ἄλλ. καὶ πάντα etc. *Montfauc. ex Drusio.*

9. Ἀλλ. ὡς καταιγὶς *Ms. Jes. apud Montfauc.*

13. Ἑβρ., καὶ Σύρος, ἔμποροι Θαρσίς. *Montfauc. ex Theodoreto.*

Ibid. Θ. καὶ πᾶσαι αἱ κῶμαι αὐτῆς *Idem ex Drusio. Hieronymus autem sic notat. « Ut autem pro* catulis leonum, *qui Hebraïce dicuntur* CHAPHIR, LXX. *et Theodotio ponerent* villas, *error perspicuus est. Si enim per* Chi *litteram scribas, appellatur* catulus leonis; *sin autem cum* Ce, *qui Hebraïce dicitur* Coph, ager *appellatur et* villae.

17. Ἄλλ. τῶν προφητευσάντων *Apud Montfauc. in Hexaplis. Chis. vero in textu similiter, sed sub stellula.*

18. ⁜ Θ. ἐν ὀργῇ μου *Ms. Jes. apud Montfauc. Ita quoque Chis. absque Interprete.*

21. Ἄλλ. καὶ καλέσω ἐπ' αὐτὸν etc. *Montfauc. ex Drusio. At Chis. legit* καὶ καλέσω ἐπ' αὐτὸν πάντα φόβον μαχαίρας.

Κεφ. λθ'.

Καὶ σὺ, υἱὲ ἀνθρώπου, προφήτευσον ἐπὶ Γὼγ, καὶ εἰπόν· τάδε λέγει [1] Κύριος Κύριος· ἰδοὺ ἐγὼ ἐπὶ σὲ Γὼγ ἄρχοντα Ῥῶς, [2] Μοσὸχ, καὶ Θοβέλ·

2. καὶ συνάξω σε, καὶ καθοδηγήσω σε, καὶ [3] ἀναβιβάσω σε ἐπ' ἐσχάτου τοῦ Βοῤῥᾶ, καὶ ἀνάξω σε ἐπὶ τὰ ὄρη [4] τοῦ Ἰσραήλ.

3. Καὶ ἀπολῶ τὸ τόξον σου ἀπὸ τῆς χειρὸς [5] τῆς ἀριστερᾶς σου, καὶ τὰ τοξεύματά σου ἀπὸ τῆς χειρὸς [6] τῆς δεξιᾶς σου, καὶ καταβαλῶ σε

4. ἐπὶ τὰ [7] ὄρη Ἰσραήλ· καὶ πεσῇ σὺ καὶ πάντες οἱ περὶ σὲ, καὶ τὰ ἔθνη τὰ μετὰ σου δοθήσονται εἰς πλήθη ὀρνέων, παντὶ πετεινῷ, καὶ πᾶσι τοῖς θηρίοις τοῦ πεδίου δέδωκά σε καταβρωθῆναι.

5. [8] Ἐπὶ πρόσωπον τοῦ πεδίου πέσῃ, ὅτι ἐγὼ ἐλάλησα, λέγει [9] Κύριος Κύριος.

6. Καὶ ἀποστελῶ πῦρ [10] ἐπὶ Μαγὼγ, καὶ κατοικηθήσονται αἱ νῆσοι ἐπ' εἰρήνης, καὶ γνώσονται ὅτι ἐγώ εἰμι Κύριος.

Cap. XXXIX.

Et tu, fili hominis, vaticinare super Gog, et dic: haec dicit Dominus Dominus, ecce ego super te Gog, principem Rhos, Mosoch, et Thobel:

2. et congregabo te, et deducam te, et ascendere faciam te desuper extremo Aquilonis, et adducam te super montes Israël.

3. Et perdam arcum tuum de manu sinistra tua, et sagittas tuas de manu dextera tua, et deiiciam te

4. super montes Israël: et cades tu, et omnes qui circa te, et gentes, quae tecum, dabuntur ad multitudinem avium; omni volatili, et omnibus bestiis campi dedi te ad devorandum.

5. Super faciem campi cades, quia ego loquutus sum, dicit Dominus Dominus.

6. Et emittam ignem super Magog, et habitabuntur insulae in pace, et scient quia ego sum Dominus.

והכיתי קשתך 3. - Ἄλλος, *καὶ ἀποτινάξω τὸ τόξον σου* - O. *καὶ ἀπολῶ τὸ τόξον σου H. M.*

ושלחתי־אש במגוג 6. - Ἄλλ. *καὶ ἀποστελῶ πῦρ εἰς Μαγὼγ H. M.*

3. *H.* et percutere faciam arcum tuum - *Al.* et excutiam arcum tuum - LXX. et perdam arcum tuum - *Vulg.* et percutiam arcum tuum.

6. *H.* et mittam ignem in Magog - *Al.*, *Vulg.* et immittam ignem in Magog.

---
